UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Arabiano Episcopo. 82.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Dan. 3. tuo Domine, aduerſus præceptum tuum negotia nobis faceſſens. Cuiuſmodi ſcilicet piis tuis pueris Babylonius tyrannus erat, aut ſanctis martyribus peſtiferi & execrandi homines, atque idolorum propugnatores.

κύριε χριστὲ τοῦ σοῦ προστάγματος κόπους ἡμῖν παρεχόμενος. ὁποῖος ὁ Βαβυλώνιος ἦν τοῖς ὁσίοις σου παισὶ τύραννος, ἢ τοῖς ἁγίοις μάρτυσιν οἱ ἀλάστορες, καὶ τῶν εἰδώλων ὑπέρμαχοι.

## *Arabiano Epiſcopo.* 82.

Iudic. 20. Qui, vt Beniaminitarum ſcortationem vlciſcerentur, in Gabaa aſcenderant, cùm de Domini voluntate ac ſententia bellum ſuſcepiſſent, non iniquè, vt putas, victoria exciderunt; verùm quoniam iuſtus iudex ex iniquis aciem inſtruere minimè ſolet, idcircò per iuſtitiam admiſſum ſcelus vindicauit. *Cur Iſraelitæ cæſi.* Nam qui peiores actiones habebant, ac multò grauiores ea quæ tùm contigerat, tanquam inſontes ad fratrum cædem communi animorum conſenſu aſcenderant. Verùm illud experimento didicerunt, Matt. 7. Hypocrita eiice primùm trabẽ ex oculo tuo, & tunc videbis vt eiicias feſtucam de oculo fratris tui. Quamobrem adulteri, quoniam adulterium minimè committendum eſſe prædicabant, rebus ipſis conuicti, ipſi quidem meritam pœnã in bello pependerunt: qui autem ſcortationis criminibus minimè affines erãt, quòd nullum eiuſmodi in ſe idôlum haberent, præclaram victoriam adepti ſunt.

## Ἀραβιανῷ ἐπισκόπῳ. πβ.

Οἱ τὴν πορνείαν Βενιαμὶν ἀναβάντες Ενταβερὰ τιμωρήσασθαι, κατὰ γνώμην θεοῦ τοῦ πολέμου ἀψάμενοι, οὐκ ἀδίκως, ὡς οἴει, τῆς νίκης ἀπέτυχον· ἀλλ' ἐπειδὴ δικαίῳ κριτῇ οὐκ ἔστιν ἐξ ἀδίκων παράταξις, δικαιοσύνῃ τὸ τολμηθὲν ἐξεδίκησεν. οἱ γὰρ χείρους ἔχοντες πράξεις, καὶ πολλῷ μείζους τῆς τότε γεγενημένης, ὡς ἀθῷοι πρὸς τὸν φόνον τῶν ἀδελφῶν ὁμονοήσαντες ἀνέβησαν. ἀλλ' ἔμαθον τῇ πείρᾳ, ὑποκριτὰ ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου. οἱ τοίνυν μοιχοὶ ἐπειδὴ μὴ μοιχεύειν ἐκήρυσσον, ὑπὸ τῶν ἔργων ἐξελεγχόμενοι, αὐτοὶ μὲν ἀξίαν ποινὴν τῷ πολέμῳ ἀπέτισαν. οἱ δὲ τῶν ἐγκλημάτων τῆς πορνείας ἀμέτοχοι, οὐδὲν τοιοῦτον ἐν ἑαυτοῖς εἴδωλον ἔχοντες, λαμπρὰν τὴν νίκην εἰργάσαντο.

ἐν γαβαά.

## *Leontio Epiſcopo.* 83.

Matth. 5. Oculum ac manum dextram optimus Chriſtus neceſſariorum ac fidiſſimorum amicorum propinquitatem nuncupauit; eos nimirùm, qui ad opem & auxiliũ ſyncerè nobis afferendum beneuolo erga nos animo ſunt, iis membrorum nominibus appellans, quorum opera nos ea, quæ nobis cordi ſunt, exequimur. Cùm igitur quiſpiam ex ipſis ſcandali author exiſtit, aut in peccato quodam aliquo, quod probrum nobis afferat, atque ignominiã ipſi conflet, volutatur, huiuſmodi hominem excindere oportet: ne alioqui peſtem

*ſcandali author excindendus.*

## Λεοντίῳ ἐπισκόπῳ. πγ.

Ὀφθαλμὸν καὶ χεῖρα δεξιὰν ὁ πανάγαθος χριστὸς τὴν ἐγγύτητα τῶν ἐπιτηδείων καὶ γνησίων ἡμῖν ἐπωνόμασε· τοὺς εὔνους ἡμῖν πρὸς γνησίαν συνεργίαν, ἐκείνοις καλέσας τῶν μελῶν τοῖς ὀνόμασι, δι' ὧν ἡμεῖς τὰ ἀρέσκοντα πράττομεν. ὅταν οὖν τις ἐξ αὐτῶν σκανδάλου αἴτιος γένηται, καὶ ἁμαρτίᾳ καλινδῆταί τινι, ἡμῖν λοιδορίαν φερούσῃ, καὶ αὐτῷ ἀτιμίαν προξενούσῃ, ἐκκόπτειν χρὴ τὸν τοιοῦτον, ἵνα μὴ λοιμὸν μιμησάμενος, νεμηθῇ τὴν